ἀστοῖσί φασιν ἐκκεκηρῦχθαι τὸ μὴ
τάφῳ καλύψαι μηδὲ κωκῦσαί τινα,
ἐᾶν δ' ἄκλαυτον ἄταφον, οἰωνοῖς γλυκὺν
θησαυρὸν εἰσορῶσι πρὸς χάριν βορᾶς.
τοιαῦτά φασι τὸν ἀγαθὸν Κρέοντα σοὶ
κἀμοί, λέγω γὰρ κἀμέ, κηρύξαντ' ἔχειν,
καὶ δεῦρο νεῖσθαι ταῦτα τοῖσι μὴ εἰδόσι
σαφῆ προκηρύξοντα, καὶ τὸ πρᾶγμ' ἄγειν
οὐχ ὡς παρ' οὐδέν, ἀλλ' ὃς ἂν τούτων τι δρᾷ,
φόνον προκεῖσθαι δημόλευστον ἐν πόλει.
οὕτως ἔχει σοι ταῦτα, καὶ δείξεις τάχα.
εἴτ' εὐγενὴς πέφυκας εἴτ' ἐσθλῶν κακή.
ΙΣ. τί δ', ὦ ταλαῖφρον, εἰ τάδ' ἐν τούτοις, ἐγὼ
κλάουσ' ἂν ἢ θάπτουσα προσθείην πλέον;

27. ἐκκεκηρύχθαι mss. ἐκκεκηρῦχθαι Martin.

29. ἄκλαυστον ἄταφον A. ἄταφον ἄκλαυτον K. L. M. ἄκλαυτον, ἄταφον Dind. Cf. Eur. Hec. 30. ἄκλαυτος, ἄταφος (ἄταφος, ἄκλαυτος al.).

30. εἰσορῶσι mss. εἰσορμῶσι anon. Vereor ut recte. Cf. Aj. 400. ἁμερίων — βλέπειν τιν' εἰς ὄνησιν. πρὸς χάριν βορᾶς] Cf. Tr. 179. στείχονθ' ὁρῶ τιν' ἄνδρα πρὸς χάριν (χαρὰν al.) λόγων. Theocr. 13, 13. οὐδ' ὁπόκ' ὀρτάλιχοι μινυροὶ ποτὶ κοῖτον ὁρῷεν. Aelian. N. A. 12, 44. ἐς τὴν τροφὴν ὁρᾷ.

31. Κρέοντά σοι mss. Correxit Schaefer. Κρέοντά μοι | καὶ σοί, λέγω γὰρ καὶ σέ conj. Nauck.

33. τοῖς mss. τοῖσι Heath. εἰδόσιν K. L. al. εἰδόσι A.

34. σαφῆ] Qu. σαφῶς.

36. ἐν πόλει mss. Qu. ἐκ πόλεως.

39. ὦ ταλαῖφρον L. ὦ ταλαίφρων al. Cf. Aj. 903. ὦ ταλαῖφρον (ταλαίφρων L.). ἐν τούτοις mss. Ineptum hoc videtur. Qu. ἐν τούτῳ 'στ'. Cf. Arist. Pl. 399. οὐκ ἔστι πω τὰ πράγματ' ἐν τούτῳ. Plat. Prot. 310 C. εἰ γὰρ ἐν τούτῳ εἴη. Aut ἔσθ' οὕτως.

40. λύουσ' ἂν mss. κλύουσ' ἂν Heath. κλάουσ' ἂν ἢ θάπτουσα Haakma Adv. Crit. p. 85. (Recte. Cf. 26. τὸν δ' — ἐκκεκηρῦχθαι τὸ μὴ | τάφῳ καλύψαι μηδὲ κωκῦσαί τινα. 44. ἦ γὰρ νοεῖς θάπτειν σφ', ἀπόρρητον πόλει;) λέγουσ' ἂν ἢ πράσσουσ' Eldick. ἢ θάπτουσα (γρ. καὶ ἢ 'φάπτουσα) L. ἢ θάπτουσα cet. ἢ 'φάπτουσα Dind. εἴθ' ἅπτουσα Porson. Nauck. προσθείμην mss. Correxi προσθείην.